*ταῦθα εἰρηκὼς τριοδίαν εἶναι ἐν τῇ διδασκαλίᾳ τῆς τε οὐρανίας ὁδοῦ καὶ τῆς χθονίας μέμνηται, οὐκέτι δὲ καὶ τῆς ἐπὶ τὴν γένεσιν τῆς μεταξύ, ὡς ἂν πάλιν ἡμῶν ὀφειλόντων ἐκ τῶν ἄκρων ἐπινοεῖν τὰ μέσα.*

*Ἰστέον δὲ ὅτι καὶ τοῦτο οἱ φιλόσοφοι μῦθοι πλέον τῶν ποιητικῶν ἔχουσιν, ὅτι οἱ φιλόσοφοι καὶ ἀποδείξεις ἐν τῷ μέσῳ τῶν μύθων προβάλλουσι, μιμούμενοι τὸ ἐπιμύθιον τῶν Αἰσωπείων μύθων. οὕτως τοίνυν κἀνταῦθα, ἐπειδὴ ἤμελλέ τις λέγειν ὅτι 'κἀκεῖ ὄντες οἱ δικασταὶ ἀεὶ πῶς ἴσασι τὰ τῇδε γινόμενα;' φησὶν ὅτι 'οὐδὲν ἕτερόν ἐστιν θάνατος ἢ χωρισμὸς ψυχῆς ἀπὸ σώματος· ὥσπερ οὖν τὸ σῶμα ἔχει μετὰ θάνατον ἄχρι τινὸς χρόνου τὰ*
238 *πάθη ἤγουν τὰ βοηθήματα, οἷον τὴν φαλακρό|τητα, εἰ ἦν φαλακρός, τὸ μέγα, εἰ ἦν μέγας, τὸ μικρόν, εἰ ἦν μικρός, οὐλάς, εἰ εἶχεν ἐξ ἑλκῶν οὐλάς, καὶ τὰ τοιαῦτα, οὕτως καὶ αἱ ψυχαὶ ἐξιοῦσαι ἔχουσι τὸ εἶδος αὐτῶν τῆς ζωῆς, οἷον τὸ συνειδός· καὶ λοιπὸν ὁρῶσιν οἱ δικασταὶ τὸ εἶδος τοῦτο καὶ τὸ συνειδὸς καὶ γινώσκουσι τὰς πράξεις'. ἰδοὺ οὖν ὅτι καὶ ἀπέδειξεν ὡς πρὸς μῦθον ἀπαντῶν· ἐπεὶ τίς οὐκ οἶδεν ὅτι θεῖαι οὖσαι δυνάμεις αἱ κρίνουσαι καὶ τὰ τῇδε καὶ τὰ πανταχοῦ ἴσασιν; ἀλλὰ ἀποδείκνυσιν ὡς πρὸς μῦθον ἀποτεινόμενος· τοῦτο γὰρ καὶ ἐν τῷ Φαίδωνι πεποίηκεν περὶ τοῦ πυρός, καὶ εἶπεν ὅτι οὐδὲν θαυμαστὸν εἶναι πῦρ ὑπὸ γῆν, ὡς δηλοῦσιν αἱ ἀναθυμιάσεις.*

**4** Ταῦτά ἐστιν, ὦ Καλλίκλεις [524 a 8]: *ἐπειδὴ καὶ ὁ Καλλικλῆς ᾔδει τοὺς μύθους τούτους, ἀλλὰ διὰ βάθους οὐκ ἤρχετο αὐτῶν, διὰ τοῦτο τούτους αὐτῷ προφέρει καὶ λέγει αὐτῷ τὸ βάθος, ἵνα γνῷ ὅτι ἐκεῖνοι οἱ δικασταὶ ἀδωροδόκητοί εἰσιν καὶ οὐδὲν ἐκεῖ ὠφελήσει ῥητορικὴ θέλουσα ἀδικεῖν.*